σύ τ᾽ ὦ γεραιὰ δυστυχεστάτη γύναι,
ἕπου. Troad. 1269 sq.

cum quo versu cf.:

νῦν δ᾽ εἴ τις ἄλλη δυστυχεστάτη γυνή. Andr. 6.

IV.

ἄλλως δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις. Med. 1030.
μάτην δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις. Tro. 760.

V.

ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ᾽ ἄνακτα γῆς
στείχοντα καινῶν ἄγγελον βουλευμάτων. Med. 269 sq.
τίν᾽ αὖ δέδορκα τόνδ᾽ Ἀχαϊκὸν λάτριν
στείχοντα καινῶν ἄγγελον βουλευμάτων; Tro. 708.

VI.

δείκνυσι δ᾽ ὥς τι καινὸν ἀγγελεῖ κακόν. Med. 1120.
μῶν ἐκ θεῶν τι καινὸν ἀγγελεῖς ἔπος; Tro. 55.
Ταλθύβιος ἥκω καινὸν ἀγγελῶν λόγον. 238.

VII.

ὦ καλλιφεγγὲς Ἥλι᾽, ὥς μ᾽ ἀπώλεσας. Phaeth. fr. 781, 11.
ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε. Tro. 860.

VIII.

ἀλλ᾽ ὣς γενέσθω. Hec. 888. Tro. 726. Iph. T. 603.

IX.

cf. Hec. XXI.

X.

Ἄπολλον, οἵοις φροιμίοις ἄρχει λόγου. Herc. 538.
τί δ᾽ ἔστιν; ὥς μοι φροιμίων ἄρχει κακῶν. Tro. 712.
οἰχόμεσθ᾽· οὐκ εὐπροσώποις φροιμίοις ἄρχει λόγου. Phoen. 1336.
cf. Med. 663 sq. Hipp. 568. Herc. 1179. Ion. 753.

Hanc locutionem revera poëticam Euripides ex Aeschylo videtur desumpsisse; vide Ag. 1216. Suppl. 830. Apud Sophoclem neque φροίμιον neque προοίμιον comparet.

XI.

ὦ τέκν᾽, ὁ φύσας χὠ τεκὼν ὑμᾶς πατὴρ
ἀπώλεσ᾽. Herc. 1367 sq.
οἵ τε γῆς ἔνερθ᾽ ἀδελφοὶ χὠ τεκὼν ἡμᾶς πατήρ.
Tro. 459.
τάλαιν᾽ ἐκείνη χὠ κτανὼν αὐτὴν πατήρ. Iph. T. 565.

XII.

σὺ μὲν καθ᾽ Ἑλλάδ᾽ ἐκβαλὼν κόμπους κενούς.... Herc. 148.
ὦ πολλὰ κόμπους ἐκβαλὸν φίλον στόμα. Tro. 1180.

XIII.

δὸς τούσδε τύμβῳ καί περίστειλον νεκρούς. Herc. 1360.
πέπλοισιν ὡς περιστείλῃς νεκρὸν
στεφάνοις θ᾽, ὅση σοι δύναμις. Tro. 1143 sq.
cf. Or. I.

XIV.

κἄπειτ᾽ ἐγώ σοι σύμμαχος γενήσομαι; Suppl. 246.
ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι. Tro. 969.
cf. εἴθ᾽ ὦ βραχίων, ...
ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι. Heracl. 740 sqq.

XV.

τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
στρατῷ δ᾽ Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν. Tro.
65 sq.
δύστηνον αὐτοῖς νόστον ἐμβαλεῖν θέλω. 75.

XVI.

ἀλλὰ παῖς ἐμὴ
μαινὰς θοάζει δεῦρο Κασάνδρα δρόμῳ. Tro. 306 sq.
οὐ γὰρ ὀρθὰ πυρφορεῖς
μαινὰς θοάζουσ᾽ . . . . 348 sq.

Alexander.

ἧπερ μεγίστη γίγνεται σωτηρία. Med. 14.
ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία. Alex. fr. 59, 2.
(ἣ Barnesius, ἃ libri).

Melanippe.

νῦν οὖν ἐπαινῶ σωφρονεῖν τέ μοι δοκεῖς. Med. 884.
τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν
σοφὸν νομίζω σωφρονεῖν τέ μοι δοκεῖ. Melan. fr. 507,
quod utrius Melanippae fragmentum sit, nescimus.

Electra.

I.

ἔχω σ' ἀέλπτως, οὔποτ' ὄψεσθαι δοκῶν. Alc. 1134.
ΗΛ. ὦ χρόνῳ φανείς,
ἔχω σ' ἀέλπτως. ΟΡ. κἀξ ἐμοῦ γ' ἔχει χρόνῳ.
ΗΛ. οὐδέποτε δόξασ'. ΟΡ. οὐδ' ἐγὼ γὰρ ἤλπισα. El. 578 sqq.

II.

καὶ νῦν γέ φημι καὶ τελευτήσω τάδε. Alc. 374.
καὶ νῦν γέ φημι κοὐκ ἀπαρνοῦμαι, τέκνον. El. 1057.

III.

δι' ὀδύνας ἔβας,
σάφ' οἶδα. Alc. 874 sq.
σάφ' οἶδα, δι' ὀδύνας ἔβας. El. 1210.
δι' ὀδύνας ἔβας. Phoen. 1561.

IV.

πέπλοι δὲ λεπτοὶ σῶν τέκνων δωρήματα
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος. Med. 1188 sq.
καὶ λαβὼν μόσχου πόδα
λευκὰς ἐγύμνου σάρκας ἐκτείνων χέρα. El. 823 sq.

V.

μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν ἀλλὰ θατέρου τρόπου. Med. 807 sq.

ἀλλ᾽ ἔμοιγ᾽ εἴη πόσις
μὴ παρθενωπὸς ἀλλὰ τἀνδρείου τρόπου. El. 948 sq.,

ubi Nauckius pro *τἀνδρείου* reponi iubet *θατέρου*, quod mihi quoque probatur. Nam ut apud *ἕτερος* aptissime ita apud *ἀνδρεῖος* ineptissime collocatur articulus.

VI.

ὄλοιτο μὲν μή — δεσπότης γάρ ἐστ᾽ ἐμός — Med. 83.
δίκαια μέν νυν ἥδ᾽ ἔχει· σὺ δ᾽ οὐχὶ δρᾷς,
Φοῖβός τε Φοῖβος — ἀλλ᾽ ἄναξ γάρ ἐστ᾽ ἐμός,
σιγῶ. El. 1244 sqq.

VII.

cf. Andr. VI.

VIII.

τί χρῆμα; λέξον. Hipp. 876. El. 901.

IX.

cf. Hipp. XIII.

X.

ἐκεῖνος εἶ σύ — βούλομαι γὰρ εἰδέναι —
ὅς . . . . .; Heracl. 945 sq.
ἐκεῖνος εἶ σύ; ΟΡ. σύμμαχός γέ σοι μόνος. El. 581.

XI.

cf. Herc. XIII.

XII.

ἀλλ᾽ οὔτι μὴ φύγητε λαιψηρῷ ποδί. Hec. 1039.
οἵδ᾽ ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί. El. 549.
στῆσον φόβου μεθεῖσα λαιψηρὸν πόδα. Hel. 555.

qui versus praecipue in eo concinunt, quod omnes caesura hephthemimere inciduntur.

Verbum *λαιψηρός* in tragoediis Graecis non comparet nisi in fabulis Euripidis, qui illud ex epica poësi desumpsit.

XIII.

σὺ μὲν τὰ νέρθεν εὐτρεπῆ ποιοῦ, γύναι. Herc. 497.
δόμων δ᾽ ἔσω βᾶσ᾽ εὐτρεπὲς ποιήσομαι. El. 689.

χέρνιβας δὲ καὶ κατάργματα
οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη. Iph. T. 244 sq.

XIV.

ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους. El. 228.
ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων
ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε. 494 sq.

XV.

ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχει; El. 233.
ἢ τὰς Ὀρέστου τλήμονας φυγὰς στένεις; 505.

Ion.

I.

οὐκ ἂν δύναιο πάντ' ἔχειν ἃ μή σε δεῖ. Alc. 63.
ὦ φιλτάτη παῖ, πάντ' ἔχεις ὅσων σε δεῖ. Ion. 1018.

II.

καὶ μὴν ἐγώ σοι πένθος ὡς φίλος φίλῳ
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία. Alc. 369 sq.

ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτίρω, πάτερ,
ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία· Ion. 618 sq.

adde μὴ σύ γ'· οὐ γὰρ ἄξιον. Hec. 408.
et μηδὲ πατρῷον δόμον
αἴσχυν'· ὁ γάρ τοι Τυνδάρεως οὐκ ἄξιος. Iph. Aul. 1030 sq.

Ion. 620 a Nauckio, Iph. Aul. 1032 a F. G. Schmidtio expuncti sunt.

III.

ἔσται τάδ' ἔσται (in trimetri initio). Alc. 328. Ion. 425. ἔσται τάδ'. frequens apud Euripidem formula in trimetri initio: Med. 731. Suppl. 1182. Tro. 87. Ion. 413. Or. 1041. Iph. Aul. 1033; apud Sophoclem comparet in postrema fabula eodem versus loco: Phil. 893.

cf. praeterea in trimetri initio: ἔσται τάδ' οὕτω. Hec. 898 et ἔσται δ' ἃ βούλει. Tro. 1053.

IV.

ἄπαιδές ἐσμεν. Med. 671. Ion. 304.
ἄτεκνός ἐστι. Ion. 65.

V.

καίτοι τί πάσχω; Med. 1049. Ion. 1385.

VI.

δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον. Med. 701.
τί χρῆμα δρᾶσαι; λέγε, πέραινε σοὺς λόγους. Ion. 1348.
⏑ – ⏑ – – ‖ ⏑⏑ | ⏑ – ⏑ – ⏑ ⏑

cf. *Μενέλαε, φέρε δή· διαπεράνωμεν λόγους.* Andr. 333.
et *τὸ πρᾶγμα δῆλον καὶ πέραιν' ὅπως λέγεις.* Or. 1118.

VII.

οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι; Hipp. 92.
σιγῶ· πέραινε δ' ὧν σ' ἀνιστορῶ πέρι. Ion. 362.

VIII.

μηδὲ φαντάζου δόμων
πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς. Andr. 876 sq.

τοὺς λελεγμένους λόγους
σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω
διακονοῦσα κρυπτά. Ion. 394 sqq.

IX.

κοὐδέν σ' ὀνήσει δῶμα Νηρῆδος τόδε,
οὐ βωμὸς οὐδὲ ναός, ἀλλὰ κατθανεῖ. Andr. 161 sq.

ἀλλ' οὔτε βωμὸς οὔτ' Ἀπόλλωνος δόμος
σώσει σε. Ion. 1275 sq.

iteratio lenissima, cum non modo collocatio verborum sed etiam verba ipsa mutata sint.

X.

cf. Hec. XIX.

XI.

ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ.... Hec. 571.
πρόσπολοι διωκόμεσθα θανασίμους ἐπὶ σφαγάς. Ion. 1250.

XII.

ἀρκεῖ σιωπὴ γὰρ μαθεῖν ἃ βούλομαι; Herc. 1126.

*εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν ἃ βούλομαι.* Ion. 390 sq.

cf. *τό τε στόμ᾽ εἰς ἔκπληξιν ἀνθρώπων ἄγει
τὸν νοῦν τ᾽ ἀπείργει μὴ λέγειν ἃ βούλεται.* Alcm. Psoph. fr. 68, 3 sq.

XIII.

*ἡμεῖς ἥκομεν νεκροὺς μέτα
θάψαι θέλοντες τῶν Πανελλήνων νόμον
σῴζοντες.* Suppl. 670 sqq.

*Φοίβου προφῆτις τρίποδος ἀρχαῖον νόμον
σῴζουσα.* Ion. 1322 sq.

XIV.

*ἦ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ᾽ ἔφυμεν.* Erechth. fr. 362, 7 sq.

*εἶναί φασι τὰς αὐτόχθονας
κλεινὰς Ἀθήνας οὐκ ἐπείσακτον γένος.* Ion. 589 sq.

Haec tamen vix appellari potest iteratio.
cf. *οὐκ ἀστός, ἀλλ᾽ ἐπακτὸς ἐξ ἄλλης χθονός.* Ion. 290.

XV.

οὐκ εἰς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ. Tro. 972.
εἰς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν. Ion. 374.

qui versus ficti sunt ad exemplum Med. 371:

ὃ δ᾽ εἰς τοσοῦτον μωρίας ἀφίκετο,

quamquam metrum non plane concinit. Etiam hac locutione usurpanda Euripides propius accedit ad pedestris orationis scriptores quam ad Sophoclem aut Aeschylum. Deest enim apud utrumque.

XVI.

παῦσαι λόγων τῶνδ᾽. El. 1123. Ion. 650.

XVII.

ὡς εἶδες ἁγνὰ Λοξίου χρηστήρια. Ion. 243.
πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια. 974.

XVIII.

ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας; Ion. 936.
(vs. 937 cum Badhamo delendus).

ἄκουε τοίνυν· οἶσθα γηγενῆ μάχην; Ion. 987.

Helena.

I.

ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών. Alc. 1149 sq
δίδωσι δ' οὐκ ἔμ' ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ συνθεῖσ' ἄπο
Πριάμου τυράννῳ παιδί. Hel. 33 sqq.

II.

cf. Suppl. IV.

III.

ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος. Med. 252.
σὺ δ' εἶ τίς; αὑτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος. Hel. 558.

in quibus versibus quamquam metrum non prorsus concinit, tamen sonus adeo idem est, ut vix liceat cum Wesenero (l. c. p. 2) de fortuita repetitione cogitare.

IV.

cf. Hipp. XI.

V.

πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι. Med. 376 sq.
πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων
οὐκ οἶδ' ὁποῖον πρῶτον ἄρξωμαι τὰ νῦν. Hel. 630 sq.

VI.

τάχ᾽ ἐξ ὀπαδῶν χειρὸς ὠσθήσει βίᾳ. Med. 335.
ὀχληρὸς ἴσθ᾽ ὤν[1] *· καὶ τάχ᾽ ὠσθήσει βίᾳ.* Hel. 452.

VII.

cf. Hipp. IX.

VIII.

τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθήψάμην. Med. 1360.
ἃ δ᾽ ἄξι᾽ ἡμῶν καὶ δίκαι᾽ ἡγούμεθα,
καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
λέξω τάδ᾽ .... Hel. 959 sqq.

ἀνθάπτεσθαι verbum proprium Euripidis (cf. Med. 55. Hec. 275) non secus atque cetera ab hoc poëta introducta irridetur ab Aristophane. Comparet nimirum etiam apud Sophoclem uno Trach. versu 778. quam fabulam ad posteriorem poëtae aetatem revocandam esse, qua prope accedit ad poësin Euripidis, infra demonstrare conabor.

IX.

κλαίων ἄρ᾽ ἅψει τῶνδε κοὐκ ἐς ἀμβολάς. Heracl. 270.
ἐσθῆτά τ᾽ ἐξάλλαξον· οὐκ ἐς ἀμβολὰς
εὐεργετήσω σ᾽. Hel. 1297 sq.

οὐκ ἐς ἀμβολάς locutio frequens apud Herodotum Thucydidem Platonem in poësi tragica non usurpatur nisi ab Euripide.

X.

ὅτ᾽ οὖν σὺ Πηλεὺς καὶ πατρὸς κλεινοῦ γεγὼς (lacuna).
Andr. 647.
παισὶ γὰρ κλέος τόδε
κάλλιστον ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους. Hel. 941 sqq.
δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταὐτοῦ γεγώς; Iph. Aul. 406.
ποίας πολίτης πατρίδος Ἕλληνος γεγώς; Iph. T. 495.
σὺ δ᾽ ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους

---

[1]) De priore parte huius versus Euripidis propria cf. Aristoph. Ach. 456.

ξαίνεις ἀρίστου πατρὸς Ἑλλήνων γεγώς; fr. adesp. (Scyrii) 7 sq.

ἔνθ᾽, ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς .... Soph. Phil. 3.

κᾆτα νουθετεῖς ἐμὲ
ἐλθών, ἀρίστου πατρὸς αἴσχιστος γεγώς; 1284 sq.

Non commemoravi Phoen. 628; nam versus 628—630 olim in fine mutilatos postea expletos esse inde colligo, quod versu 628 liber Marcianus, a quo in crisi exercenda profiscendum est, exhibet lectionem sine dubio falsam; deinde in versu 629 variam fuisse lectionem ex scholiis concluditur. Denique versus 630 exitus ex 627 repetitus est.

Quaeritur, cuius poëtae versus Scyriorum habendi sint. Etenim scripsit Sophocles fabulam quae *Σκύριοι*, Euripides fabulam quae *Σκύριαι* inscribitur: haec autem nomina in libris manu scriptis saepissime confunduntur. Cum vero fragmentum proxime accedat ad versum Philoctetae, non improbabile est et ipsum esse Sophocleum.

XI.

cf. Herc. XII.

XII.

cf. El. XII.

XIII.

cf. Herc. I.

XIV.

οὐκ᾽ ἔσθ᾽ ὅδ᾽ ἄλλος ἀντὶ σοῦ παιδός, γέρον. Herc. 519.

οὐκ ἔστιν ἄλλη σή τις ἀντ᾽ ἐμοῦ γυνή. Hel. 574.

XV.

λόγῳ πολίτης ἐστί, τοῖς δ᾽ ἔργοισιν οὔ. Erechth. fr. 362, 13.

τοῖς πράγμασιν τέθνηκα, τοῖς δ᾽ ἔργοισιν οὔ. Hel. 286.

τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ᾽ ἔργοισιν οὔ. Or. 287.

Oppositio verborum *λόγος* et *ἔργον* imprimis apud Euripidem frequentissima est.

XVI.

τί χρῆμα θηρῶν καὶ τίνος χρείαν ἔχων; Suppl. 115.
τί χρῆμα θηρῶσ' ἱκέτις ὠρέχθης ἐμοῦ; Hel. 1238.

XVII.

σοὶ μὲν τάδ' εἶπον· παισὶ δ' Ἀργείων λέγω. Suppl. 1213.
σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω. Hel. 1662.
σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δέ, Πολύνεικες, λέγω. Phoen. 568.
σοὶ μὲν τάδ' εἶπον· προσπόλοις δ' ἐμοῖς λέγω. 778.

Adde:

σοὶ μὲν τάδ' εἶπον. El. 1276 sqq. et
πρὸς μὲν σ' ὅδ' ἡμῖν μῦθος· Iph. T. 1442.

quibus locis deus ad eundem, ad quem se loqui desiisse videtur modo indicasse, loqui pergit. Verba igitur illa propria significatione destituta valent hoc tantum: 'hucusque ad te pertinebat oratio mea et ad munera tua'.

XVIII.

μάλιστ'· ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν. Tro. 63.
Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν. Hel. 562.
in quibus versibus ut exitus optime ita principia minime concinunt, cum Tro. 63 prior versus pars sit

⏑ –, ⏑ – – ‖, Hel. 562 contra
– – ⏑, – ⏑ ‖.

Ceterum non licet Tro. 63 cum Sybelio[1]) θέλω vocis loco χρῄζω scribere. Nam quod haec vox et vs. 62 et 63 comparet, non mirandum est, cum altera persona loquatur.

XIX.

ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν. El. 1081.
οὐδὲν κακίω Μενέλεω μ' ἕξεις πόσιν. Hel. 1423.

---

1) de repetitionibus verborum in fabulis Euripideis. Bonnae 1868. p. 55.

Metri et verborum collocationis discrepantia explicatur differentia eorum quae usurpanda erant verborum:

εἶχες — ἕξεις
Αἰγίσθου — Μενέλεω.

XX.

(θέλω) . . . τροφαῖα δεσπόταις
ἀποδοὺς θανεῖν τε ζῶν τε φέγγος εἰσορᾶν. Ion. 850 sqq.
φησὶ δ' – ◡ –
πόσιν τὸν ἀμὸν ζῶντα φέγγος εἰσορᾶν. Hel. 530 sq.

XXI.

cf. part. II cap. II. Ion.

XXII.

τίς δ' εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίας πάτρας
πέφυκας; Ion. 258 sq.
τίς δ' εἶ; πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον; Hel. 83.

XXIII.

μῶν χρόνιος ἐλθών σ' ἐξέπληξ' ὀρρωδίᾳ; Ion. 403.
ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας. Hel. 566.

XXIV.

οὐκ ἀπαλλάξει; (in tetrametri trochaici catalectici initio)
Ion. 524.
οὐκ ἀπαλλάξει δόμων; Hel. 437.

XXV.

τἀπὶ τῷδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ' ἔτι. Ion. 256 sq.
ὅτου δ' ἕκατι μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε; Hel. 156 sq.

XXVI.

κἀν τῷδε μόχθῳ πτηνὸς εἰσπίπτει δόμους
κῶμος πελειῶν. Ion. 1196 sq.
κἀν τῷδε μόχθῳ τοῦτ' ἄρα σκοπούμενοι
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προσῆλθον ἀκταῖς. Hel. 1537 sqq.

κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην. Phoen. 1396 sqq.

Phoen. locus cum Hel. arte cohaeret, cum utroque verba *κἀν τῷδε μόχθῳ* sequatur participium, cuius verbum contineat vim videndi.

XXVII.

ἀλλ' ἐκλιπὼν θεοῦ δάπεδ' ἀλητείαν τε σὴν.... Ion. 576.
τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικράν. Hel. 934.

ubi quamquam schemata – – ⏑ – –́, ⏑⏑ ‖ ⏑ – – – ⏑ –́
et – – ⏑ – ⏑ – ‖ ⏑ – – – ⏑ –
discrepant, caesura fere eadem est.

XXVIII.

ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθε δυστυχῆ. Ion. 1456 sq.

εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν. Hel. 698 sq.

cf. *τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα.* Iph. T. 841.

XXIX.

ἐγὼ μὲν οὖν σοὶ καὶ συνεκπονεῖν θέλω
καὶ συμφονεύειν παῖδ'. Ion. 850 sq.

θέλω δὲ κἀγὼ σοὶ συνεισελθεῖν δόμους
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα. Hel. 327 sq.

XXX.

εὖτ' ἐς κόλπους . . .
κρόκεα πέταλα φάρεσιν ἔδρεπον. Ion. 888 sq.

ὅς με χλοερὰ δρεπομέναν ἔσω πέπλων
ῥόδεα πέταλα . . . Hel. 244 sq.

XXXI.

οὗ παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις[1]. Ion. 10.
ἐν τοῖσιν αὑτῆς δεῖ νιν ἐζεῦχθαι γάμοις. Hel. 1654.

---

[1]) sic libri (vel *οὗ παῖδ' ἐξ Ἐρ.*) priore parte versus depravata. Restituere conatus est hunc locum Usenerus (Mus. Rh. vol. XXIII p. 151 sqq.).

XXXII.

ΙΩΝ. ὄνομα τί σε καλεῖν ἡμᾶς χρεών;
ΚΡ. Κρέουσα μέν μοι τοὔνομ', ἐκ δ' Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ' Ἀθηναίων πόλις. Ion. 259 sqq.
(ad vs. 259 cf. Heracl. 86: ὄνομα τί σε, γέρον, Μυκηναῖος ὠνόμαζεν λεώς;)
ΕΛ. ἀτὰρ τίς εἶ πόθεν; τίν' ἐξαυδᾶν σε χρή;
ΤΕΥ. ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμών, Σαλαμὶς δὲ πατρὶς ἡ θρέψασά με. Hel. 86 sqq.
cf. πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου,
ἔτικτε δ' Ἰοκάστη με παῖς Μενοικέως,
καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς. Phoen. 288 sqq.

Λήδας μέν εἰμι παῖς, Κλυταιμνήστρα δέ μοι
ὄνομα, πόσις δὲ μοὐστὶν Ἀγαμέμνων ἄναξ. Iph. Aul. 827 sq.

XXXIII.

κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος. Heracl. 992.
ἐνταῦθ' ἀγῶνα δεινὸν ἠγωνίσμεθα. Ion. 939.
πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα. Hel. 843.
cf. καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω. Alc. 648.

Ad. Hel. 843 spectat

ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα; Orest. 1124.
cf. etiam Suppl. V.

XXXIV.

οὐ φρονῶ. τὰ φίλταθ' εὑρὼν εἰ φιλεῖν ἐφίεμαι: Ion. 521.
οὔπω φρονῶ μὲν εὖ, τὸ δ' (ὄμμα μου νοσεῖ: Hel. 575 cf. etiam Ion. 533); quae iteratio lenissima est.

XXXV.

τί δῆτα, θύγατερ, τοῦτο σοῖς ἐχθροῖς βλάβος; Ion. 998.
καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν; Hel. 101.

quae iteratio dubito an fortuita sit.

XXXVI.

τερφθεὶς τοῦτο κεῖν' οὐκ ἠρόμην. Ion. 541.
ἐγὼ δ' ἀπέστην τοῦτ' ἐρωτῆσαι σαφῶς
ἡσθεῖσ', ἐπεί νιν εἶπέ μοι σεσωσμένον. Hel. 536 sq.

Verba in summa sententiarum similitudine plane diversa sunt.

XXXVII.

ΘΕ. Κλεινήν, γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῇ γὰρ ἄστεως
ζητῶν νιν ἐξέπλησα κοὐκ ἔχω λαβεῖν.
ΧΟ. τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε, καὶ λόγους τίνας φέρεις;
ΘΕ. θηρώμεθ'· ἀρχαὶ δ' ἀπιχώριοι χθονὸς
ζητοῦσιν αὐτήν, ὡς θάνῃ πετρουμένη.
ΧΟ. οἴμοι τί λέξεις; οὔτι που λελήμμεθα
κρυφαῖον εἰς παῖδ' ἐκπορίζουσαι φόνον;
ΘΕ. ἔγνως· μεθέξεις οὐκ ἐν ὑστάτοις κακοῦ. Ion. 1107 sqq.

ΑΓΓ. Μενέλαε, μαστεύων σε κιγχάνω μόλις
πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα
πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.
ΜΕ. τί δ' ἔστιν; οὔ που βαρβάρων συλᾶσθ' ὕπο; Hel. 597 sqq.

ΑΓΓ. ὡς καίν' ἀκούσει πήματ' ἐξ ἐμοῦ τάχα.
ΘΕΟΚΛ. τί δ' ἔστιν; ΑΓΓ. ἄλλης ἐκπόνει μνηστεύματα
γυναικός· Ἑλένη γὰρ βέβηκ' ἔξω χθονός. Hel. 1513 sqq.
ΘΕ. ὦ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
ἐκ τῆσδ' ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις. 1519 sq.

ΑΓΓ. ὦ ναοφύλακες βώμιοί τ' ἐπιστάται,
Θόας ἄναξ γῆς τῆσδε ποῦ κυρεῖ βεβώς;
καλεῖτ' ἀναπτύξαντες εὐγόμφους πύλας
ἔξω μελάθρων τῶνδε κοίρανον χθονός.

ΧΟ. τί δ' ἔστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;
ΑΓΓ. βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
φεύγοντες ἐκ γῆς τῆσδε καὶ σεμνὸν βρέτας
λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.
ΧΟ. ἄπιστον εἶπας μῦθον. Iph. T. 1284 sqq.
ΑΓΓ. μέτεστι χὐμῖν τῶν πεπραγμένων μέρος. 1299.

XXXVIII.

τί δῆτ' ἔτι ζῶ; Hel. 56. 293.

XXXIX.

καὶ δοκῶ προδοῦσ' ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν. Hel. 54 sq.

ἢ κλῄζομαι καθ' Ἑλλάδ' ὡς προδοῦσ' ἐμὸν
πόσιν Φρυγῶν ᾤκησα πολυχρύσους δόμους. 927 sq.

XL.

δοῦναι κελεύσω πορθμίδ' ᾗ καθήσομεν
κόσμον τάφῳ σῷ πελαγίας ἐς ἀγκάλας. Hel. 1061 sq.
σὺ δ', ὦ ξέν', ἐλθὼν πελαγίους ἐς ἀγκάλας . . . 1436.
πελαγίους etiam 1062 restituendum est.

ἀγκάλη vox propia significatione frequentissima, translata praeter hos Helenae versus legitur in Oreste (1377 sqq.), quae fabula et ipsa in posteriorum numero est:

Ὠκεανὸς ὃν
ταυρόκρανος ἀγκάλαις ἑλίσ-
σων κυκλοῖ χθόνα.

Sine dubio Euripides Aeschylum imitatur: cf. πόντιαί τ' ἀγκάλαι Cho. 586 et fr. 450.

Sophocles illo verbo non usus est.

XLI.

ναῦν δεῖ παρεῖναι κάρετμῶν ἐπιστάτας. Hel. 1267.
καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς κάρετμῶν ἐπιστάτας. 1412 sq.

XLII.

οἶσθ' οὖν ὃ δρᾶσον; Hel. 315. 1233.

Formula frequentissima redit Hec. 225. Ion. 1029. Polyid. fr. 647. Iph. Aul. 725. Cycl. 131.

Iphigenia Taurica.

I.

ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους. Alc. 62.
πρῶτα μέν μ' οὐδεὶς ξένων
ἑκὼν ἐδέξαθ' ὡς θεοῖς στυγούμενον. Iph. T. 947 sq.
γαμεῖ δ' ὃ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλαος Ἑλένην. Or. 19 sq.
ἐγάμησεν Ἑλένη τὸν θεοῖς στυγούμενον. Adesp. fr. 157,

quem versum, siquidem Euripideus est, antiquiorem esse quam Or. 19 sq. probabile est.

II.

εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας. Med. 1 sq.
ἥκουσιν εἰς γῆν κυανέαν Συμπληγάδα
πλάτῃ φυγόντες δίπτυχοι νεανίαι. Iph. Taur. 241 sq.

cf. etiam Soph. Ant. 966 e coni. et Hom. Od. XII 73 sqq.

III.

καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις. Med. 608.
ἢ σοῖς ἀραία δώμασιν γενήσομαι. Iph. T. 778.

IV.

τί δ' ἔστι, Φαίδρα, δεινὸν ἐν δόμοισι σοῖς; Hipp. 566.
τί δ' ἔστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις; Iph. T. 1160.

V.

ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
ἀκτή τίς ἐστι τοὐπέκεινα τῆσδε γῆς.... Hipp. 1198 sq.
ἐπεὶ τὸν εἰσρέοντα διὰ Συμπληγάδων
βοῦς ὑλοφορβοὺς πόντον εἰσεβάλλομεν,
ἦν τις διαρρὼξ . . . ἀγμός. Iph. T. 260 sqq.
ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
χῶρός τίς ἐστιν Ἀτθίδος πρὸς ἐσχάτοις
ὅροισι. Iph. T. 1449 sqq.

ὅθ᾽ εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν . . .
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κήναιόν ἐστιν. So. Trach. 750. 752 sq.

VI.

καὶ μήτ᾽ Ἀθήνας τὰς θεοδμήτους μόλῃς. . . . Hipp. 974.
ὅταν δ᾽ Ἀθήνας τὰς θεοδμήτους μόλῃς. Iph. T. 1449.
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο. So. El. 707.

θεόδμητος apud Sophoclem hoc uno loco, apud Euripidem praeter illos Andr. 1263. Hec. 23, apud Aeschylum nusquam comparet: quod epitheton ornans Euripides ex Sophocle desumpsisse et in suum usum vertisse videtur.

VII.

τὰ χρήστ᾽ ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ᾽. Hipp. 379 sq.
τὰς γὰρ ἐνθάδε
θυσίας ἐπιστάμεσθα καὶ γιγνώσκομεν. Iph. T. 490 sq.

VIII.

τὰ πρῶτα μέν νυν πίτυλος Ἀργείου δορὸς
ἐρρήξαθ᾽ ἡμᾶς· εἶτ᾽ ἐχώρησαν πάλιν. Heracl. 834 sq.
ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
βουφορβὸς ἡμῶν κἀνεχώρησεν πάλιν. . . Iph. T. 264 sq.

IX.

καὶ τοῦθ᾽ ὕποπτον ἦν ἄρ᾽. Andr. 1088.
καὶ τάδ᾽ ἦν ὕποπτα μέν. Iph. T. 1334.

X.

ἀτὰρ δὴ πυνθάνει τίς ὢν τάδε:
ΟΡ. *Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τόκος,*
ὄνομα δ᾽ Ὀρέστης. Andr. 883 sqq.
Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τέκνον,
ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων. Iph. T. 238 sq.

Iph. T. 238 *τε* Reiskius, *παῖ* libri.

XI.

ὅμως δ᾽ ἐμαυτὴν οὐ προδοῦσ᾽ ἁλώσομαι. Andr. 191.
ἢ φόνου τοῦ ᾽ν Αὐλίδι

ἀμνημόνευτος θεὰν προδοῦσ᾽ ἁλίσκεται. Iph. T. 1418 sq.

quem locum scripsi ex Badhami emendatione. φόνον τὸν Αὐλίδι | ἀμνημόνευτον θεᾷ libri.

χάρις διαρρεῖ καὶ προδοῦσ᾽ ἁλίσκεται. So. Ai. 1267.
οὐ γὰρ δὴ προδοῦσ᾽ ἁλώσομαι. So. Ant. 46 in versu ab antiquis interpretibus damnato.

XII.

δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ᾽ ἔριν. Med. 520 sq.

δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε
πόλει τε τῇμῇ. Hec. 583 sq.

δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσε
τὸ Ταντάλειον σπέρμα διὰ πόνων τ᾽ ἄγει. Iph. T. 987 sq.

XIII.

cf. Hec. XVII.

XIV.

cf. Tro. VIII.

XV.

cf. Tro. XI.

XVI.

ἄκουε, Θησεῦ, τῆσδ᾽ Ἀθηναίας λόγους. Suppl. 1183.
ποῖ ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆσδ᾽ Ἀθηναίας λόγους. Iph. T. 1435 sq.

Suppl. 1183 τῆσδ᾽ Marklandus, τούσδ᾽ libri.

cf. ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν. Hipp. 1296.

XVII.

ἀλλ᾽ οἶσθ᾽ ὃ δρᾶσαι βούλομαι τούτων πέρι; Suppl. 932.
ἀλλ᾽ οἶσθ᾽ ὃ δράσω; Iph. T. 759.

cf. formulam οἶσθ᾽ οὖν ὃ δρᾶσον; Hel. XLII.

XVIII.

ἐκεῖσε πρῶτ᾽ ἄνελθε· κοινώσει λόγους . . .; Tro. 61.
ἐκεῖσε δὴ 'πάνελθε· πῶς νιν εἵλετε. . .; Iph. T. 256.
cf. *ἀλλ᾽ ἄνελθέ μοι πάλιν,*
τί τἀπὶ τούτοις παῖδ᾽ ἐμὼ δρασείετον; Phoen. 1207 sq.

XIX.

ὄλωλεν ὡς ὄλωλεν, ἀλλ᾽ ὅμως ἐμοῦ
ζώσης γ᾽ ὄλωλεν εὐτυχεστέρῳ πότμῳ. Tro. 630 sq.
ὄλωλεν ὡς ὄλωλε τοῖσιν εἰδόσιν. Iph. T. 575.
cf. *πράξασαν ὡς ἔπραξεν.* Aesch. Ag. 1288.
ἔγημεν ὡς ἔγημεν . . . So. Troil. fr. 556, 1.
ἔκυρσεν ὡς ἔκυρσεν. Eur. El. 289.

XX.

νικᾶν δ᾽ ἴσαις ψήφοισι τὸν φεύγοντ᾽ ἀεί. El. 1269.
νικᾶν δ᾽ ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ. Iph. T. 1472.

Eadem igitur res diversis verbis exprimitur. Ne caesura quidem eadem est.

XXI.

σὸν ἔργον ἤδη. El. 668.
σὸν ἔργον ἤδη καὶ σὸν εἰσβαίνειν δόμους. Iph. T. 1079.
cf *σὸν ἔργον, Ἰοῖ, . . .* Aesch. Prom. 635.

Aeschylus hanc formulam ex vulgari eloquio — occurrit enim saepissime apud Aristophanem et Platonem — in tragoediam introduxit: recepit eam Euripides: Hel. 830. 1288. Phoen. 444. Ba. 849, posteriore tamen ut videtur aetate. Sophocles eam respuit, adhibuit demum in postrema fabula Euripidem sine dubio secutus: Phil. 15:

ἀλλ᾽ ἔργον ἤδη σὸν τὰ λοίφ᾽ ὑπηρετεῖν.

XXII.

τί δῆτα δρῶμεν; μητέρ᾽ ἦ φονεύσομεν: El. 967.
τί δῆτα δρῶμεν, φράζε, τοῖν ξένοιν πέρι; Iph. T. 1188.
τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ. Phoen. 740.

XXIII.

εἵρξει γάρ νιν ἐστομωμένας
δεινοῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν. El. 1255 sq.
ἐστομωμένας Kirchhoffius, *ἐπτοημένας* codex Florentinus 32, 2.
τήνδε δ᾽ οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν ὥς με βούλεται κτανεῖν
δειναῖς ἐχίδναις εἰς ἔμ᾽ ἐστομωμένην; Iph. T. 285 sqq.

XXIV.

ἐγὼ δ᾽ ἅμ᾽ ἡμέρᾳ
βοῦς εἰς ἀρούρας εἰσβαλὼν σπερῶ γύας. El. 78 sq.
ἐπεὶ τὸν εἰσρέοντα διὰ Συμπληγάδων
βοῦς ὑλοφορβοὺς πόντιον εἰσεβάλλομεν, . . . Iph. T. 260 sq.
ceterum cf. Iph. T. V.

XXV.

cf. El. XIII.

XXVI.

πρὸς θεῶν ἀληθῶς, ὡς μεμύθευται βροτοῖς, . . .
ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ; Ion. 265 sqq.
πρὸς θεῶν ἀληθῶς. ὦ ξέν᾽. εἶ κεῖθεν γεγώς; Iph. T. 509.

XXVII. XXVIII.

ποῖόν τι μορφῆς σχῆμ᾽ ἔχουσαν ἀγρίας; Ion. 992.
παρῆν δ᾽ ὁρᾶν
οὐ ταὐτὰ μορφῆς σχήματ᾽. Iph. T. 291 sq.
ποδαποί; τίνος γῆς σχῆμ᾽ ἔχουσιν οἱ ξένοι; Iph. T. 246.
σχῆμ᾽ Monkius, *ὄνομ᾽* libri.

XXIX.

καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην. Hel. 106.
μητέρα κατακτὰς αὐτὸς ἀνταπόλλυμαι. Iph. T. 715.
cf. *ὑβρίζων τ᾽ αὖθις ἀνταπώλετο*
Κάδμου κακόφρων λαός. Suppl. 743 sq.

XXX.

Ἀτρέως . . . παῖς ἀνεβόησε συμμάχοις·
τί μέλλετ᾽, ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν φονεύειν βαρβάρους . . . ; Hel. 1592 sqq.

ναὸς δ' ἐκ μέσης ἐφθέγξατο
βοή τις· ὦ γῆς Ἑλλάδος ⏓ – ⏑ –
λάβεσθε κώπης .... Iph. T. 1385 sqq.
vs. 1386 *ναῦται νεώς* libri, *ναύτης λεώς* F. G. Schmidt, *λωτίσματα* vel *νεανίαι* Nauckius, *νηλάται* Köchlius.

cf. *σὸς δ' ἐπῆλθε σύγγονος,*
ἔλεξε δ'· ὦ γῆν Ἰνάχου κεκτημένοι, ... Or. 931 sq.

ad condicionem virorum animos sociorum clamore incendentium cf.:

Aesch. Pers. 399 sqq. Eur. Hel. 1559 sqq. Suppl. 699 sqq. Heracl. 838 sqq.

XXXI.

ναῦταί σφ' ἀνείλοντ' ἐντυχόντες, ὡς λέγει. Hel. 1217.
πῶς δ' εἴδετ' αὐτοὺς κἀντυχόντες εἵλετε: Iph. T. 252.
κἀντυχόντες Reiskius, *καὶ τυχόντες* libri.
– – ⏑ – – | – ⏑ – ⏑ – ⏑ ⏓

XXXII.

ὡς εὖ τόδ' εἶπας πλὴν ἕν. Hel. 1063.
καλῶς ἔλεξας τἄλλα πλὴν ἕν, ὦ ξένη. Iph. T. 597.

XXXIII.
cf. Hel. XXXVII.

XXXIV.

κακὸς μὲν ὄρνις, εἰ δὲ κερδανῶ ⏑ –,
ἕτοιμός εἰμι μὴ θανὼν λόγῳ θανεῖν. Hel. 1051 sq.
χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς. Iph. T. 1034.

XXXV.

ἦ πόλλ' ἀνήρου μ' ἑνὶ λόγῳ μιᾷ θ' ὁδῷ. Hel. 765.
ὡς πάνθ' ἅπαξ με συλλαβοῦσ' ἀνιστορεῖς. Iph. T. 528.
sententia et metrum fere eadem sunt, verba discrepant.

XXXVI.

γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή. Hel. 329.
σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή. 830.

γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλαις γένος
σῴζειν τε κοινὰ πράγματ᾽ ἀσφαλέσταται. Iph. T. 1061 sq.

XXXVII.

ΕΛ. ἦλθες γάρ, ὦ ξέν᾽, Ἰλίου κλεινὴν πόλιν;
ΤΕΥ. καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
ΕΛ. ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;
ΤΕΥ. ὥστ᾽ οὐδ᾽ ἴχνος γε τειχέων εἶναι σαφές. Hel. 105 sqq.
ΙΦ. Τροίαν ἴσως οἶσθ᾽, ἧς ἁπανταχοῦ λόγος.
ΟΡ. ὡς μήποτ᾽ ὤφελόν γε μηδ᾽ ἰδὼν ὄναρ.
ΙΦ. φασίν νιν οὐκέτ᾽ οὖσαν οἴχεσθαι δορί.
ΟΡ. ἔστιν γὰρ οὕτως οὐδ᾽ ἄκραντ᾽ ἠκούσατε. Iph. T. 517 sqq.

XXXVIII.

ΕΛ. ἥδη δ᾽ ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως; Hel. 123.
Ἑλένη δ᾽ ἀφῖκται δῶμα Μενέλεω πάλιν; Iph.T.521.
quos locos nescio an perperam adnumeraverim iteratis.

XXXIX.

κτείνει γὰρ Ἕλλην᾽ ὅντιν᾽ ἂν λάβῃ ξένον. Hel. 155.
ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ,
κατάρχομαι μέν, σφάγια δ᾽ ἄλλοισιν μέλει. Iph. T. 39 sq.

XL.

φέρε, τί δ᾽ εἰ κρυφθεὶς δόμοις
κτάνοιμ᾽ ἄνακτα τῷδε διστόμῳ ξίφει; Hel. 1043 sq.
ἆρ᾽ ἂν τύραννον διολέσαι δυναίμεθ᾽ ἄν; Iph. T. 1020.

XLI.

ἡ δ᾽ αἰτία τίς ἀνθ᾽ ὅτου κτείνει πόσιν; Iph. T. 926.
ἡ δ᾽ αἰτία τίς; 1168.

XLII.

ἥκουσιν εἰς γῆν κυανέαν Συμπληγάδα
πλάτῃ φυγόντες δίπτυχοι νεανίαι. Iph. T. 241 sq.
οἵων στερεῖσα διπτύχων νεανιῶν
ἀνάδελφος ἔσται. 474 sq.
βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι. 1289.

XLIII.

διαδοχαῖς δ' Ἐρινύων
ἠλαυνόμεσθα φυγάδες ἔξεδροι χθονός. Iph. T. 79 sq.

μεταδρομαῖς δ' Ἐρινύων
ἠλαυνόμεσθα φυγάδες. 941 sq.

exitus versuum 79 et 941 simillimi sunt, cum et metrum concinat ⏑⏑⏑–⏑–⏑– et vocales in verbis *διαδοχαῖς* et *μεταδρομαῖς* excepta prima syllaba eaedem sint.

XLIV.

ἐπειδὴ πατρὸς αἷμ' ἐτισάμην
μητέρα κατακτάς; Iph. T. 78 sq.

μητέρα κατακτὰς αὐτὸς ἀνταπόλλυμαι. 715.

cf. *μητέρα κατέκταν τὴν ἐμήν.* Alcm. Psoph. fr. 69. 1.

XLV.

ἄκραις ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου. Iph. T. 253.
ἔχομεν γὰρ ὧνπερ εἵνεκ' ἄξενον πόρον
Συμπληγάδων ἔσωθεν εἰσεπλεύσαμεν. Iph. T. 1388 sq.
ἄξενον Monkius, *εὔξεινον* libri.
cf. *Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.* Andr. 1262.

XLVI.

σφάγια δ' ἄλλοισιν μέλει
ἄρρητ' ἔσωθεν τῶνδ' ἀνακτόρων θεᾶς. Iph. T. 40 sq.

εἴσω δόμων τῶνδ' εἰσὶν οἷς μέλει τάδε. 624.

XLVII.

εἰχόμεσθα τῆς ξένης
πρυμνησίων τε. Iph. T. 1355 sq.

ἀλλ' οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης
καὶ πρὸς σ' ἕπεσθαι διεβιαζόμεσθά νιν. 1364 sq.

XLVIII.

ὥσθ' αἱματηρὸν πέλαγος ἐξανθεῖν ἁλός. Iph. T. 300.
ὥσθ' Marklandus, *ὡς* libri.
ὥσθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί. 935.

IL et L.

Nescio an huc revocanda sint Cycl. VIII et IX.

Phoenissae.

I.

ἀλλ᾽ ᾐσθόμην μὲν ὄμμ᾽ ἰδὼν δακρυρροοῦν. Alc. 826.
ὧν οἱ δικαίως ἀπελαθεὶς ξένην πόλιν
ναίω δι᾽ ὄσσων ὄμμ᾽ ἔχων δακρυρροοῦν. Phoen. 369 sq.
cf. *ἥξει δι᾽ αἰδοῦς ὄμμ᾽ ἔχουσ᾽ ἐλεύθερον.* Iph. Aul. 993 sq.

Phoen. 370 corruptus est: quem ex Iphigeniae Aulidensis versu emendare temptarem, nisi hic quoque laboraret; *δίχ᾽ αἰδοῦς* haud improbabiliter coniecit F. G. Schmidt.

Phoen. 370 *δι᾽ ὄσσων* corruptum esse iam Valckenaerius vidit. Tamen quod ipse commendat: *ἀειδὲς* vel *κατηφὲς* non satisfacit.

II.

σὺ δ᾽ οὐκ ἀνέξει; Hipp. 459.
σὺ δ᾽ οὐκ ἀνέξει δωμάτων ἔχων ἴσον
ἴσον ἀπονεῖμαι; Phoen. 547 sq.

sic Nauckius, *καὶ τῷδ᾽ ἀπονεῖμαι* libri veteres, *καὶ τῷδ᾽ ἀπονέμειν* libri recentes multi.

III.

cf. Meleagr. I.

IV.

cf. Heracl. III.

V.

ἐπεὶ γὰρ . . . .,
ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα
ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός. Heracl. 802 sq.
(*πόδα* vitiosum, ut quod cum *ἐκβάς* coniungi nequeat).
ἐπεὶ δὲ χαλκέοις σῶμ᾽ ἐκοσμήσανθ᾽ ὅπλοις,
ἔστησαν ἐλθόντ᾽ εἰς μέσον μεταίχμιον. Phoen. 1359 sq.

VI.

σοί τ' εὐ λέλεκται καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
τοιαῦτ' ἔσεσθαι. Heracl. 333 sq.

σοί τ' εὖ λέλεκται γόνατα μὴ χρῴζειν ἐμά,
ἐγὼ δὲ ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα. Phoen. 1625 sq.

VII.

τί σεμνομυθεῖς κεὶς ἀγῶν' ἔρχει λόγων; Andr. 234.
ὀρθῶς μ' ἐρωτᾷς κεὶς ἀγῶν' ἔρχει λόγων. Phoen. 930.

VIII.
cf. Andr. V.

IX.
cf. Andr. X.

X.
cf. Andr. XVI.

XI.
cf. Herc. XIV.

XII.

ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν ....
λούσω προθῶμαί θ'. Hec. 611 et 613.
ἐγὼ δ' ἥκω μετὰ
γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν. Phoen. 1317 sqq.

XIII.

λαοὶ δ' ἐπερρόθησαν. Hec. 553.
πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε. Phoen. 1238.
cf. *ἐπερρόθησαν δ' οἱ μὲν ὡς καλῶς λέγοι,*
οἱ δ' οὐκ ἐπῄνουν. Or. 901 sq.

XIV.

ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε; Herc. 1250.
ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα. Phoen. 60.

in quibus versibus quamquam nullae aliae partes congruunt quam arsis primi et arsis tertii pedis, tamen quia praeterea

utriusque nomen proprium eiusdem est circuitus et eodem modo collocatum, sonus simillimus est:
⏑ – ⏑ – – | – ⏑ –, ⏑ – ⏑⏑.

XV.

cf. Tro. X.

XVI.

νεκρῶν ἅπαντ' Ἰσμηνὸν ἐμπλήσω φόνου. Herc. 572.
θάρσει· τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου. Phoen. 718.

XVII.

παρὸν δὲ τειχέων εἴσω μολεῖν,
Θησεὺς ἐπέσχεν. Suppl. 723 sq.
δι' εὐπετείας τειχέων εἴσω μολεῖν. Phoen. 262.

XVIII.

ἀτὰρ τί ταῦτα; κεῖνο βούλομαι μαθεῖν . . . Suppl. 750.
ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν. Phoen. 382.
cf. *ἀτὰρ τί ταῦτα δύρομαι;* Andr. 397.

quae verba apud solum Euripidem hoc ordine coniuncta legis.

XIX.

ὁ τῆς κυναγοῦ δ' ἄλλος Ἀταλάντης γόνος,
παῖς Παρθενοπαῖος, εἶδος ἐξοχώτατος,
Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς
παιδεύεται κατ' Ἄργος. Suppl. 888 sqq.
ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος. Phoen. 1106.
ὁ δ' Ἀρκὰς αὖ κἀργεῖος Ἀταλάντης γόνος . . . . 1153.
αὖ κἀργεῖος Nauckius, *οὐκ Ἀργεῖος* libri.

XX.

ἐρεῖ δέ μ' ὅστις ἐχθρὸς ὢν κυρεῖ τάδε· Alc. 954.
ἐρεῖ δὲ δή τις ὡς . . . . Suppl. 311.
ἐρεῖ δὲ δή τις· Phoen. 580.

Addo So. Ai. 500 et 504. El. 975 et 984. Eur. Alc. 1000 et 1005. Hec. 313. Heracl. 28. 516: qui loci conferri possunt cum Homeri Iliad. Z 459 et 462 (cf. 479): Ai. 500 sqq. certe ex huius loci imitatione originem duxerunt.

XXI.

πόσει γὰρ συνθανοῦσα κείσομαι. Suppl. 1063.
θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι. Phoen. 1283.

XXII.

οἳ τήνδ' ἐπεστράτευσαν Ἕλληνες πόλιν. Tro. 22.
ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν. Phoen. 285.

XXIII.

cf. Iph. T. XXII.

XXIV.

ὁ δ' ὡς ἐν ἱερῷ μάντεσίν τ' ἐσθλοῖς τραφεὶς
οἰωνὸν ἔθετο κἀκέλευσ' ἄλλον νέον
κρατῆρα πληροῦν. Ion. 1190 sqq.
οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη. Phoen. 858.

XXV.

λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο
βωμοῦ λιποῦσα ξόανα. Ion. 1402.
λάζυσθε τήνδε κεὶς δόμους κομίζετε. Phoen. 1660.

λάζυσθαι ex epica poësi in tragoediam recepit Euripides: ceteri duo poëtae tragici eo non usi sunt: irridet Aristophanes ex. gr. Lys. 209.

XXVI.

καθαρὰν γὰρ ἢν τις εἰς πόλιν πέσῃ ξένος,
κἂν τοῖς νόμοισιν ἀστὸς ᾖ, τό γε στόμα
δοῦλον πέπαται κοὐκ ἔχει παρρησίαν. Ion. 673 sqq.
ΠΟ. ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.
ΙΟ. δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ. Phoen. 391 sq.

Verbum *παρρησία* non comparet nisi apud Euripidem democratiae in scaena patronum.

XXVII.

ἄθαπτον· οἲ 'γὼ τῶν ἐμῶν τλήμων κακῶν. Hel. 1223.
ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σὲ δέρκομαι
ἔχουσαν, οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν. Phoen. 372 sq.
cf. ad collocationem verborum *τῶν ἐμῶν — κακῶν*:

ἢ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν; Andr. 249.
ἃ πόλλ' ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν. Iph. T. 710.

XXVIII.

ὁ δὲ φύσας πατὴρ
Τελαμών, Σαλαμὶς δὲ πατρὶς ἡ θρέψασά με. Hel. 87 sq.
Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με. Phoen. 280.

XXIX.

μεῖνον· τί φεύγεις; Hel. 548. Phoen. 897. Iph. Aul. 831.
Iph. Aul. 831 *μεῖνον* Valckenaerius, *δεινόν* libri.

XXX.

ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα. Iph. T. 1295.
οὐ μακρὰν γὰρ τειχέων περιπτυχαὶ
ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα. Phoen. 1357 sq.

XXXI.

ὦ θεοί· κακοὺς μὲν ἀνακαλῶ τοὺς συμμάχους. Tro. 469.
...ἰὼ θεοί· καὶ τί τοὺς θεοὺς καλῶ; 1280.
ΠΥ. ὦ θεοί· ΙΦ. τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς; Iph. T. 780.
ΠΟ. ὦ κασίγνηται· ΕΤ. τί ταύτας ἀνακαλεῖς ἔχθιστος ὤν; Phoen. 617.
ΦΙ. ἰὼ θεοί.
ΝΕ. τί τοὺς θεοὺς οὕτως ἀναστένων καλεῖς; Soph. Phil. 736,

quam librorum scripturam ex similibus Euripidis versibus emendandam esse intellexit Burgesius. Scribendum est aut
ΦΙ. ὦ θεοί· ΝΕ. τί τοὺς θεοὺς ὧδ' ἀναστένων καλεῖς;
aut
ΦΙ. ὦ θεοί· ΝΕ. τί τοὺς θεοὺς ἀνακαλεῖς οὕτω στένων;

Mihi hoc paulo probabilius videtur, quia propius accedit ad versus Euripideos.

XXXII.

ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί. Phoen. 155.
ὃ καὶ δέδοικα μή με δικτύων ἔσω
λαβόντες οὐκ ἐκφρῶσ' ἀναίμακτον χρόα. 263 sq.

XXXIII.

καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος. Phoen. 356.
πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος. 965.

Poëta dedita opera verba mutavit.

cf. Herc. 636 et Dict. fr. 334. (Herc. 629—636 spurios iudicat Wheelerus).

XXXIV.

ἐγὼ δ' ἔριν λύσουσ' ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός. Phoen. 81 sq.
ἥτις μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν. 273.
ὅπως κλύοιμί σου
κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
τόνδ' εἰσεδέξω τειχέων πείσασά με. 449 sqq.

XXXV.

ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
εἰς ἀσπίδ' ἥξειν. Phoen. 1325 sq.
ἔστησαν ἐλθόντ' εἰς μέσον μεταίχμιον
ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός. 1363 sq.
ubi metrum plane concinit.

XXXVI.

Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις. Phoen. 85.
ὦ θεοί, γένοισθε τῶνδ' ἀπότροποι κακῶν
καὶ σύμβασίν τιν' Οἰδίπου τέκνοις δότε. 586 sq.

XXXVII. XXXVIII.

τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
ὑψηλά· πότερα κλιμάκων προσαμβάσεις
ἐκβησόμεσθα; Iph. T. 96 sqq.

κλιμάκων cum Kirchhoffio novissimi editores omnes, δωμάτων libri.

μήτε προσφέρειν
πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις. Phoen. 488 sq.
μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
ἔχων ἐχώρει. Phoen. 1173.

cf. ἀμύνειν τειχέων προσαμβάσεις. 744.
αἱρέσθω λαβὼν
πηκτῶν καὶ οἴκους κλιμάκων προσαμβάσεις. Bacch. 1212 sq.

Hanc locutionem Euripides ab Aeschylo mutuatus est:
ἀνὴρ ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον. Sept. 466 sq.

Polyidus.

καίτοι δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις. El. 1013 sq.
ἐν τῷ γὰρ ὄλβῳ πικρότης ἔνεστί τις. Polyid. fr. 642, 2.

Oedipus.

I.

Ἔρωτα πάντων δυσμαχώτατον θεόν. Hipp. vel. fr. 433, 3.
ἄλλων δὲ πάντων δυσμαχώτατον γυνή. Oedip. fr. 548.

II.

οὐκ ἔστι τὰκ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ
κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει. Peliad. fr. 609.
τὸ δ' εὐγενὲς
εἰς δοῦλον ἥκει, μεταβολὰς τοιάσδ' ἔχον. Tro. 614 sq.
ἀλλ' ἦμαρ ἔν τοι μεταβολὰς πολλὰς ἔχει. Oed. fr. 553.
τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει. Bacch. 299.
μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει. Adesp. fr. 465.
τὸ τῆς τύχης τοι μεταβολὰς πολλὰς ἔχει. Chaerem. inc. fr. 20.

Chaeremo Oedipi versum imitatur.

Antiopa.

I.

Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας
σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ συνῴκει χωρὶς ἀνθρώπων Θέτις. Androm. 16 sqq.
Οἰνόη
σύγχορτα ναίω πεδία ταῖς τ' Ἐλευθεραῖς. Antiop. fr. 179.

II.

θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
κρείσσω νομίζειν τῶν δοκημάτων χρεών. Erechth. fr. 361.

. ἀλλ' ἐγὼ τὰ πράγματα
κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε. Antiop. fr. 205, 5 sq.

cf. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον. Hec. 1187 sq.

III.

ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις
χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,
ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον. Meleagr. fr. 524.

πᾶσι δ' ἀγγέλλω βροτοῖς
ἐσθλῶν ἀπ' —— εὐγενῆ σπείρειν τέκνα. Antiop. fr. 214.

ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα. Alcm. Cor. fr. 76, 1. 2.

IV.

τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός. Andromed. fr. 150.

τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου. Antiop. fr. 223.

V.

νοῦν χρὴ θεᾶσθαι, νοῦν· τί τῆς εὐμορφίας
ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ; Oedip. fr. 552.

...εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι; Antiop. fr. 211.

metrum fere concinit excepto pede quinto; neque enim ullo loco tragoediae graecae καλός vocis prima syllaba producitur.

Orestes.

I.

καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν. Med. 1034.
καὶ κατθανόντοιν εὖ περίστειλον δέμας. Or. 1066

δέμας περιστέλλειν ex So. Ant. 902 sq.:

νῦν δέ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ᾽ ἄρνυμαι.

desumptum est.

cf. praeterea Tro. XIII et

καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν. Alc. 663 sq.

II.

ΑΙΓ. Μήδεια, χαῖρε....
ΜΗ. ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
